# 09 MAI

# PARACLISUL SF.CUVIOS-MUCENIC NICOLAE DE LA VUNENA

## PARACLISIER-GR


Ο ΑΓΙΟΣ
ΝΙΚΟΛΑΟΣ
ὁ ἐν Βουνένοις

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ
# ΟΣΙΟΜΑΡΤΥΡΑ ΝΙΚΟΛΑΟΝ ΤΟΝ ΝΕΟΝ
# ΕΚ ΤΗΣ ΕΝ ΒΟΥΝΑΙΝΗ ΙΕΡΑΣ ΜΟΝΗΣ

Ὁ **Ἱερεύς**· Εὐλογητός ὁ Θεός...
Ὁ **ἀναγνώστης**· Ἀμήν.

**Ψαλμός ρμβ΄ (142)**

**Ἦχος δ΄.**

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...

Στίχ. Πάντα τά ἔθνη ἐκύκλωσάν με, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεός Κύριος, καί ἐπέφανεν ἡμῖν...

Στίχ. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεός Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

**Ὁ** Ὑψωθεὶς ἐν τῷ Σταυρῷ Τοῦ Ὁσιομάρτυρος τῷ θείῳ Τεμένει, οἱ συνεχόμενοι παθῶν ταῖς ὀδύναις, προσέλθωμεν κραυγάζοντες ἐκ βάθους ψυχῆς. Ἅγιε Νικόλαε, ἰατρὲ τῶν νοσούντων, σπεῦσον καὶ ἀπάλλαξον, τῆς παρούσης ἀνάγκης, τοὺς ἐκζητοῦντας πίστει ἀκλεινεῖ τὴν σὴν βοήθειαν Μάρτυς ἑκάστοτε.

**Δόξα. Ὅμοιον.**

**Ὡ**ς πολιοῦχον καὶ θερμότατον ρύστην καὶ ἀρωγὸν καὶ βοηθὸν ἐν ἀναγκαις, πλουτοῦντες Νικόλαε βοῶμεν σοι θερμῶς. Σκέπε ἡμᾶς πάντοτε, τῶν ἐν βίῳ κινδύνων, φύλαττε τοὺς δούλους σου, ἐν εἰρήνῃ τελεία καὶ τὰς αἰτήσεις πλήρου συμπαθῶς, τῶν εὐλαβῶς προσφοιτώντων τῇ σκέπη σου.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ο**ὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι εἰμή γάρ σύ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρύσσατο, ἐκ τοσούτων κινδύνων; τίς δέ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ψαλμός Ν΄ (50)**

**Ὁ κανών οὗ ἡ ἀκροστιχίς.**

**«Ἰάσεις διδοίης Ὁσιομάρτυς Νικόλαε».**

**Ὠδὴ α΄. Ἦχος πλ. α΄. Ὑγρὰν διοδεύσας.**

Ἰάσεις παρέχων παντοδαπάς, ψυχῶν καὶ σωμάτων, θεραπεύεις πάθη δεινά, Νικόλαε νέα Ὁσιομάρτυς, τοῖς προσιοῦσι θερμῶς τῇ πρεσβείᾳ σου.

**Ἀ**θλήσας νομίμους ὑπὲρ Χρίστου, λαμπρῶς ἐδοξάσθης, τῶν θαυμάτων τῆς Δωρεᾷ καὶ πᾶσι παρέχει τὰς αἰτήσεις, τοῖς προστρέχουσι τῇ σκέπῃ σου Ἅγιε.

**Σ**ωμάτων ὀδύνας τὰς χαλεπάς, ἴᾶσαι ταχέως, Ὁσιομάρτυς θαυματουργέ, καὶ μέλη συσφίγγεις παρεθέντα, τῇ δεδομένῃ θεόθεν σοι χάριτι.

Θεοτόκιον.

**Ἐ**κύησας Κόρη σωματικῶς, τὸν ἄσαρκον λόγον, ὑπὲρ λόγον δίχα τροπῆς, διὸ τῶν παθῶν τῆς ἀλογίας, τὴν μολυνθεῖσαν καρδίαν μου κάθαρον.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Ἰαμάτων σε κρήνην, ὡς ἀληθῶς δέδειξε, κόσμῳ τῆς ζωῆς ὁ ταμίας, Ὁσιομάρτυς Νικόλαε· ὅθεν τὰ νάματα καὶ τὰ γλυκύτατα ρεῖθρα, πάσης παρακλήσεως, βλῦσον τοῖς πάσχουσι.

**Σ**ωτηρίας σε πύργον καὶ ἀσφαλῆ πρόβολον, οἱ δοῦλοι σου ἔχομεν ἅγιε, πάσης στενώσεως, καὶ δυσπραγίας καὶ βλάβης, ρυόμεθα Νικόλαε τῇ προστασίᾳ σου.

**Δ**υσχέρειας ἀπάσης, καὶ χαλεπῶν θλίψεων, καὶ φθοροποιῶν ἀλγηδόνων, καὶ περιστάσεων, λύτρωσε: Ἅγιε, τοὺς ἀδιστάκτῳ καρδίᾳ σπεύδοντας Νικόλαε τῇ σκέπη σου.

**Θεοτόκιον.**

Ἰατρὸν καὶ Σωτήρα, τὸν τοῦ παντὸς τέξασα, Λόγον τὸν τὸ εἶναι τοῖς πᾶσιν, Ἁγνὴ παρέχοντα, ἴασαι δέομαι, τὴν ἀσθενοῦσαν ψυχήν μου, τῇ σοὶ ἀγαθότητι, μόνη Πανύμνητε.

**Δ**ιάσωσον ἀπὸ κινδύνων καὶ πόνον καὶ νοσημάτων, τοὺς ἐν πίστει τῇ σοὶ προστρέχοντας χάριτι, καὶ σὲ τιμῶντας Νικόλαε Ὁσιομάρτυς.

Ἐπιβλεψον ἐν εὐμενείᾳ…

Ἐπίβλεψον ἐν εὐμενείᾳ…

Αἴτησις καί τό Κάθισμα.

**Ἦχος β΄ . Πρεσβεία θερμή.**

**Π**ροστάτης θερμὸς καὶ μέγα καταφύγιον, ἐδόθης ἡμῖν, παρὰ Θεοῦ Νικόλαε διὸ ἡμᾶς ἀπάλλαξον πολυτρόπιον κινδύνων καὶ θλίψεων καὶ τὴν ὑγείαν χορηγεῖ ἀεί, τοῖς κάμνουσι πόνους τε καὶ πάθεσι

**Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.**

**Δ**ωρεὰν Ὁσιομάρτυς οἴκτειρον, τοὺς προσερχόμενους τῷ σεπτῷ λειψάνῳ σου καὶ παράσχον τὰ αἰτήματα, τὰ κατὰ ψυχὴν καὶ σῶμα Ἅγιε.

**Ὀ**δυνῶν ἀπαλύτρωσαι, τοὺς συνεχόμενους νόσοις καὶ πάθεσι καὶ δαιμόνων τὴν ἐπήρειαν, ἐξ ἡμῶν ἀπέλασον Νικόλαε.

**Ἰ**ατρεῖον ἀδάπανον, πάσης ἀσθενείας πάσης κακώσεως, ἡ σορὸς ἡ τῶν λειψάνων σου, ὤφθη θείῳ Πνεύματι Νικόλαε.

**Θεοτόκιον.**

**Ἡ** τὸν Ἥλιον λάμψασα, τῆς δικαιοσύνης ἡμῖν ἐν σώματι, λάμπρυνόν μου τὴν διάνοιαν, τὴν ἐσκοτισμένην Μητροπάρθενε.

**Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.**

**Σ**κέπασον ἡμᾶς, ἐπηρείας τοῦ ἀλάστορος καὶ κατάβαλε αὐτοῦ τὰς μηχανάς, ἃς τεκταίνει καθ' ἡμῶν Ὁσιομάρτυς Νικόλαε.

**Ν**ᾶμα μυστικόν, εὐφροσύνης καὶ χρηστότητος, ἡ σοὶ σορὸς ἀναβλύζει νοερῶς, κατεφραίνει τὰς ψυχὰς ἡμῶν Νικόλαε.

Ἔμπλησον χαρᾶς, Νικόλαε τοὺς δούλους σου, τοὺς προσιόντας τῇ εἰκόνι σου ταῖς πρὸς τὸν κτίστιν θερμαῖς σου δεήσεσι.

**Θεοτόκιον.**

Ὅλην μου πρὸς σέ, ἀνατείνω τὴν διάνοιαν, ἵνα τύχω τῆς σῆς χάριτος Ἁγνὴ· ἀλλ' ὦ Δέσποινα βοήθει μοι καὶ σῶσον με.

**ᾨδὴ στ΄. Τὴν δέησιν.**

**Μ**εγάλως παρὰ Χριστοῦ ἐδοξάσθης, καὶ ἰάματα πηγάζεις ποίκιλλα καὶ θεραπεύεις δεινὰς ἀσθενείας, καὶ ἀπελαύνεις ἀκάθαρτα πνεύματα καὶ νῦν παράσχου ἀθλητὰ καὶ ἡμῖν τὴν σωτήριον Χάριν σου.

**Ἀ**λάλοις ὡς τὴν φωνὴν ἐχαρίσω καὶ ἠνώρθωσας πολλοὺς παραλύτους καὶ τοῖς χωλοῖς εὐδρομίαν παρέσχες, οὕτω καὶ νῦν Ὁσιομάρτυς Νικόλαε, παράσχου ἅπασιν ἡμῖν, ἐπελθόντων δεινῶν τὴν ἐκλύτρωσιν.

**Ρ**υσθῆναι πειρατηρίων παντοίων καὶ στενώσεων ἡμᾶς ἐπώδυνων καὶ ἐν εἰρήνῃ διάγειν τὸν βίον, τὸν ποιητὴν τῶν ἀπάντων ἱκέτευε, Νικόλαε θαυματουργέ, Ὁσιομάρτυς Χριστοῦ ἀξιάγαστε.

**Θεοτόκιον.**

**Τ**ὸν πάντων κυοφορήσασα κτίστην, ἐξ ἁγνῶν σου ὑπὲρ φύσιν αἱμάτων, ἐκ τῆς φθορᾶς ἀνακτώμενον Κόσμον, φθοροποιῶν λογισμῶν μὲ ἀπάλλαξον καὶ ρύθμισόν μου τὴν ζωήν, Θεοτόκε ἁγνὴ θείῳ ἔρωτι.

**Δ**ιάσωσον ἀπὸ κινδύνων καὶ πόνων καὶ νοσημάτων τοὺς ἐν πίστει τῇ σοὶ προστρέχοντας χάριτι, καὶ σὲ τιμῶντας Νικόλαε Ὁσιομάρτυς.

Ἄχραντε ἡ διὰ λόγου τόν Λόγον ...

Αἴτησις καὶ τὸ Κοντάκιον

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

**Ὡ**ς ἀντιλήπτορα μέγαν Νικόλαε, τῶν ὀρθοδόξων ἡ πόλις γεραίρει σε, καὶ καυχωμένη τοῖς θείοις σου θαύμασι, τὴν σοὶν ὀξεῖαν κηρύττει ἀντίληψιν αὐτῆς γὰρ ὑπάρχει τὸ στήριγμα.

**Προκείμενον.**

Δικαίος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέρδος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον.**

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ

περιστεραί. προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς είς συνέδρια, καὶ έν ταῖς συναγωγαῖς αύτῶν μαστιγώσουσιν ὑμᾶς· καὶ έπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν έμοῦ είς μαρτύριον αύτοῖς καὶ τοῖς ἔθνεσιν. ὅταν δὲ παραδῶσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν έν έκείνῃ τῇ ὥρᾳ τί λαλήσητε· ού γὰρ ὑμεῖς έστε οἱ λαλοῦντες ἀλλὰ τὸ Πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν έν ὑμῖν. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν είς θάνατον καὶ πατὴρ τέκνον, καὶ έπαναστήσονται τέκνα έπὶ γονεῖς καὶ θανατώσουσιν αύτούς· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας είς τέλος οὗτος σωθήσεται.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Στίχ. Ἐλέησόν με ὁ Θεός…

**Ἀ**θλήσας στερρώτατα, έν ταῖς έσχάταις ἡμέραις καὶ Χριστὸν έδόξασας, καὶ έχθρὸν κατήσχυνας τῇ ἀθλήσει σου. Ἀθλητὰ ένδοξεόθεν έδοξάσθης, ἰαμάτων τοῖς χαρίσμασι, καὶ νέμεις ἅπασι, ρῶσιν καὶ ὑγείαν καὶ ἔλεος, τοῖς πίστει καταφεύγουσι, τῇ σεπτῇ σου Νικόλαε. Καὶ νῦν έκδυσώπει, πταισμάτων ἡμῖν δοῦναι

ἱλασμόν, καὶ δυσχερῶν ἀπολύτρωσιν, Χριστὸν τὸν φιλάνθρωπον.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν σου…

**ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ὑπαχθέντα με Ὁσιομάρτυς, τοῦ ἐχθροῦ τῇ καίᾳ νοὶ ἀγνώμονι, ἐκλύτρωσαι ταχέως, τῇ σοὶ ἐπιστασία, ὁ πολλοὺς λυτρωσάμενος, ἐκ τυραννίδος πίκρας, πνευμάτων ἀκαθάρτων.

**Σ**ωμάτων ἀρρωστείας, καὶ ψυχῶν καχεξίας ἡμᾶς ἀπάλλαξον καὶ δίδου εὐρωστίαν, ἡμῖν καὶ εὐεξίαν, καὶ πταισμάτων συγχώρησιν, ταῖς ἱκεσίαις ταῖς σαῖς, Νικόλαε τρισμάκαρ.

**Γ**εωργία ἀΰλῳ τῆς σεπτῆς πρεσβείας ὁσιομάρτυς Νικόλαε, γεώργει εὐπραγίαν καὶ πᾶσαν χορηγίαν, ἀγαθῶν ἡμῖν πράξεων, καὶ σωτηρίαν ψυχῆς, καὶ θείαν εὐφροσύνην.

**Θεοτόκιον.**

**Ἐ**σαρκώθη ἀτρέπτως, ἐξ ἁγνῶν σου αἱμάτων καὶ ὤφθη ἄνθρωπος, ὁ Πλάστης τῶν ἀνθρώπων, τὸν ἄνθρωπον καινίζων, τῆς κατάρας δι’ ἔλεος, ὃν ἐκδυσώπει Ἁγνή, σῶσαι τοὺς σὲ ὑμνοῦντας.

## Ὠδὴ η΄. Τὸν Βασιλέα.

**Ρ**ῶσιν παρασχου, τοῖς χαλεπῶς ἀσθενοῦσι καὶ ἀνόρθωσιν τοῖς παραλελυμένοις, ὡς λαβὼν τὴν χάριν, παρὰ Κυρίου ὁσιομάρτυρος.

**Ἀ**ρρωστημάτων, σὲ ἰατῆρα ποικίλων, ὡς πλουτήσαντες Νικόλαε θεόθεν, ἐν πάσῃ ἀνάγκῃ τῇ σοὶ σπεύδομεν σκέπη.

**Σ**ύντριψον Ὁσιομάρτυς, τὸν καθ᾽ ἡμῶν οἷα πῆρα, ὡρυόμενον ἐχθρὸν τὸν παλαμναῖον, καὶ τῆς τούτου βλάβης, ἡμᾶς ἀτρώτους τήρει.

**Θεοτόκιον.**

Ἴασαι κόρη, τὴν ἀσθενοῦσαν ψυχήν μου, καὶ κατάνυξιν ἐν τῇ καρδίᾳ δίδου, ὡς ἂν ἀπαλύνω, τὸν ῥύπον τῆς κακίας.

## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

**Ν**ικόλαε τρισμάκαρ, Οὐρανοπολίτα, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων ἱκέτευε, ὅπως ρυσθῶμεν κινδύνων καὶ περιστάσεων.

**Ὁ** πᾶσι τὰς αἰτήσεις, νέμων τοῖς φοιτῶσι, τῷ σῷ Τεμένει Νικόλαε Ἅγιε δίδου ἡμῖν ἐν ἀνάγκαις τὴν σὴν βοήθειαν.

Ὑπὲρ τῶν σὲ τιμώντων, πάντοτε δυσώπει, τὴν Παναγίαν Τριάδα Νικόλαε, ὡς ἂν ζωῆς αἰωνίου ἀξιωθείημεν.

**Θεοτόκιον.**

Ὑψίστου Λόγου Μῆτερ, Ἄχραντε Παρθένε, ἁμαρτιῶν καταιγίδος μὲ λύτρωσαι, καὶ πρὸς ζωῆς ἐνάρετου ὅρμον με ἴθυνον.

**Καί εὐθύς τό**

Ἄξιον ἔστιν ὡς ἀληθῶς μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβείμ καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

**Χ**αίροις τῶν Ὁσίων Μαρτύρων ὁ κοινωνός, καὶ λαμπρὰ προσθήκη, καὶ ἰσότιμος ἀληθῶς· Χαίροις Ὁσιομάρτυς, Νικόλαε θεοφρον τῆς Ἐκκλησίας ἄστρον νέον καὶ ἔκλαμπρον.

**Π**ίστει διαπρεπῶν τῇ πρὸς Χριστὸν ἠθλήσας νομίμως. Ἐν φρονήματι ἀκλινεῖ, καὶ ἐμεγαλύνθη ἀπείροις θαυμασίοις, γενναῖε Νεομάρτυς ἀξιοθαύμαστε Νικόλαε.

**Ἄ**κακος καὶ μέτριος καὶ ἁπλοῦς, Πέλων Ἀθλοφόρε, καὶ ἀκέραιος τῇ ψυχῇ, ἠσχύνας ἀνόμων, τὸ φρύαγμα είς τέλος, τῇ πίστει τοῦ Κυρίου Ἀγωνισάμενος.

**Ὤ**φθη ἰατρεῖον Πνευματικὸν καὶ ψυχῶν σωτηρίαν καὶ κινδύνων· ἀπαλλαγήν, ἀθλοφόρε Νικόλαε.

**Χ**αίροις θλιβομένων ἀναψυχὴ καὶ κακουχουμένιον, ἡ ταχεία ἀπαλλαγὴ χαίροις Νεομάρτυς Νικόλαε τρισμάκαρ, ἡμῶν πρὸς τὸν Σωτῆρα Πρέσβυς Θερμότατος.

**Δ**εῦτε εὐφημήσωμεν οἱ πιστοί, τὸν ἐκ τῆς ἐώας, ἐξαστράψαντα ἀθλητήν, φύλακα καὶ ῥύστην, χριστιανῶν ἁπάντων Νικόλαον τὸν Νέον, Χριστοῦ τὸν Μάρτυρα.

**Χ**αίροις Θετταλίας πάσης φρουρός, χαίροις τῆς Ἑλλάδος Πολιοῦχος καὶ ἀρωγός, χαίροις ὁ Βουναίνην, τὸν τόπον ἁγιάσας, τοῖς ρείθροις σῶν αἱμάτων, μακάριε Νικόλαε.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

Τό τρισάγιον, και το Ἀπολυτίκιον Ἁγίου Νικολάου τοῦ Νέου.

**Ἦχος α΄. Ταχὺ προκαταλαβὲ.**

Ὡς ἄστρον λαμπρότατον, ἐξανατειλὰς σοφέ, έτέθη είς κίνησιν πέριξ ἡλίου Χριστοῦ Νικόλαε ἔνδοξε καὶ ὅθεν έκ τῆς ἐώας, έν Βουναίνῃ οίκήσας, ἤλειφας διπλοῦν στέφος ὁσίαθλε Πάτερ καὶ νῦν ταῖς σαῖς Πρεσβείαις σῶζε τοὺς δούλους σου.

**Πλ. α΄. Τὸν Συνάναρχον Λόγον.**

**Τ**ὸν Πανεύφημον μάρτυν Χριστοῦ Νικόλαον, τῶν Βουναίνης τὸ Κλέος καὶ Πολιοῦχον στερρόν, ἄρμασιν έγκωμίων άνεφημήσωμεν, ὅτι ένήθλησε λαμπρῶς καὶ κατήνεγκεν έχθρόν, τοῦ Πνεύματος τῇ δυνάμει, καὶ νῦν άπαύστως πρεσβεύει ὅπερ τῶν ψυχῶν ἡμῶν.

**Κοντάκιον.** Ἡ **Παρθένος σήμερον.**

Ἐν ἐώα πρότερον τιμητικῶς διαπρέψας, έν Βουναίνῃ ὕστερον, άσκητικῶς ήγωνίσθης, ἤρας δέ, καὶ θείαν νίκην κατὰ Ἀβάρων, ἄσυλον διαφυλάξας ὁμολογίαν, ὦ Νικόλαε τρισμάκαρ, διὰ Πρεσβείας ταῖς σαῖς σωζώμεθα.

Η έκτενής και ἡ άπόλυσις, μεθ’ ἥν ψάλλομεν τό ἐξῆς.

**Ἦχος β΄. Ὅτε έκ τοῦ ξύλου.**

**Π**άντων Βοηθὸς καὶ άρωγός, Πέλων Νεομάρτυς Κυρίου, άξιοθαύμαστε. Νέμεις τὰ ίάματα τοῖς προσιοῦσι θερμῶς, τῷ ἀγίῳ Τεμένει σοί, καὶ τοῖς έν άνάγκαις, βοηθεῖς ἐκάστοτε, ὡς συμπαθέστατος·

Ὅθεν δυσχέρειας ἀπάσης, ἡμᾶς ἀσινεῖς διατηρεῖ Ἀθλητὰ Νικόλαε Δεόμεθα.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

**Δίστιχον.**

**Νικόλαε Νέε, δεήσεις προσδέχου**

**Νεκταρίου σπεύδοντα τῇ ἀρωγῇ σου.**